A

Στροφὴ ἀμοιβαία κώλων ζ.

Bisetus. Ὁ Χορὸς τὴν Τρυγαίου τύχην, καὶ εὐπραγίαν ἐπαινῶν μακαρίζει.

Χο. Εὐδαιμονικῶς γ᾽ ὁ πρεσ-
Βύτης ὅσα γ᾽ ὧδ᾽ ἰδεῖν,
B Τανῦν τάδε πράττει.
Τρ. Τί δῆτ᾽ ἐπειδὰν νυμφίον μ᾽ ὁρᾶτε λαμπρὸν ὄντα.
Χο. Ζηλωτὸς ἔσῃ γέρον
Αὖθις νέος ὢν πάλιν,
Μύρῳ καταλειπτός.

*Ch. Feliciter à senex.*
*Quantum hic licet intue-*
*Ri perspicus ista.*
*Tr. Quid cùm elegantem me videbitis statim maritum?*
*Ch. Felix ter & amplius*
*Rursum iuuenis senex*
*Vnguenta oliturus.*

Σχόλια. Εὐδαιμονικῶς.] στροφὴ ἀμοιβαία κώλων ζ. ἔχει δὲ καὶ ἀντιστροφὴν τὸ ἦ χρηστὸς ἀνήρ. καὶ εἰσὶ τῶν μὲν C χοροῦ τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος. τὰ μὲν β. δίμετρα ἀκατάληκτα. τὸ δὲ γ ἡμιόλιον. ὁ δὲ τοῦ ὑποκειτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ αὖθις τὰ τοῦ χοροῦ τρία τοῖς ἄνω κάτισα κώλοις. ὑφ᾽ ἃ παράγραφος καὶ ἡ ἔσω διπλῆ. ἑξῆς δ᾽ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν ε. ὑφ᾽ οὓς κορωνίς.

Bisetus. Ὅσα γ᾽ ὧδ᾽ ἰδεῖν] ὅσα ἐνταῦθα πάρεστιν ὁρᾶν. τὸ δὲ νέος ὢν πάλιν, ἴσως σκωπτικῶς εἴρηται. καὶ γὰρ κατὰ τὴν παροιμίαν, δὶς παῖδες οἱ γέροντες.

Chr. Εὐδαιμονικῶς] Stropha est Amœbæa versuum septem, cuius Antistropham habes infra, quæ incipit ἦ χρηστὸς ἀνήρ. Sunt autem Cola Ionica à maiore, duo priora dimetra Acatalectica. Tertium ἡμιόλιον, Quartus versus qui est Trygæi ὑποκειτοῦ Iābicus Tetrameter Catalect. Mox tres reliqui similes tribus prioribus. Legendum autem in illo Tetrametro λαμπρὸν non λαμπρός.

D

Σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν ε.

Τρ. Οἶμαι, τί δῆθ᾽ ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι,
Εὐδαιμονέστερος φανεὶς τῶν Καρκίνου στροβίλων.
Οὔκουν δικαίως, ὅς τις εἰς ὄχημα κανθάρου βὰς,
Ἔσωσα τοὺς Ἕλληνας, ὥστε ἐν τοῖς ἀγροῖσιν αὐτοὺς
Ἅπαντας ὄντας, ἀσφαλῶς βινεῖν τε καὶ καθεύδειν.

*Tr. Sic credo, sed quid cùm cohærens comprimam papillas,*
*Beatior quàm Carcini asperi & rudes stolones?*
*Et iure certè, quippe Cantharo inuehens volanti*
*Qui Græciam seruauerim, quæ tota nunc in agris*
*Secura viuit, liberéque dormit atque depsit.*

E

Σχόλια. Εὐδαιμονέστερος.] κακοδαιμονέστερος ἐν εἰρωνείᾳ. στροβίλους δέ φησι τούτους, ἢ διὰ τὸ τραχὺ τοῦ σώματος, ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων. ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι, καθάπερ καὶ οἱ στρόβιλοι. τουτέστιν οἱ κοχλίαι ἢ οἱ θαλάττιοι κήρυκες. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι. ἐπειδὴ καὶ οἱ στρόβιλοι κώνου ἐπέχουσι δίκην. στρόβιλος δέ ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθὰ καὶ ἀλλαχοῦ γυλιαύχενας.

F

Christ. Στροβίλων] Per Ironiam dixit εὐδαιμονέστερος: Sed per στροβίλους intelligit Cancri illius vel Carcini filios quos duros & asperos vocat instar Nucis pineæ quæ στρόβιλος, quia turbinata, vnde fastigium & συστροφὴ capillorum, vbi erant τεττίγων ἐνέρσεις, κρωβύλον quasi στρόβιλον dixerunt à forma coni. Hic verò ad Cancrum respicit: nam cochleæ illæ marinæ sunt ὀστρακόδερμοι: vel propter orbiculatas eorum saltationes hoc dixit, est enim στρόβιλος etiam genus ὀρχήσεως, & propterea vocauit antea eos γυλιαύχενας. Corrigendus Sudas voce στρόβιλος, vbi habes γλυκυτραχήλους, lege γυλιοτραχήλους. Ὥστε ἐν τοῖς] Lege ὥς τ᾽ ἐν τοῖς, ita postulante versu.

Κορωνὶς ἑτέρα ἐξ ἰάμβων τριμέτρων ἀκαταλήκτων μά.

Bisetus. Ὁ Τρυγαίου θεράπων τῷ δεσπότῃ ση- G μαίνει τὰ τῶν γάμων πάντα ἤδη παρεσκευασμένα εἶναι.

Θε. Ἡ παῖς λέλουται, καὶ τὰ τῆς πυγῆς καλά.
Ὁ πλακοῦς πέπεπται. σησαμῆ ξυμπλάττεται.

*Fam. Puella lota est, optimè nates habent.*
*Placenta cocta est, & parata Sesama,*

Σχόλια.